# 12 DECEMBRIE

# ACATISTUL SF.IERARH SPIRIDON AL TRIMITUNDEI

KERKYRA,1847



# ΟΙΚΟΙ

## ΕΙΣ ΤΟΝ ΝΕΚΡΟΖΩΝΤΑ ΕΝ ΚΕΡΚΥΡΑ:

## ΣΠΥΡΙΔΩΝΑ.

### Τροπάριον.

Τὸν ζωοχέα μελῳδήσωμεν Σπυρίδωνα,
Τὸν ἐν Κερκύρᾳ, ζῶντα σώματι ὑπάρχοντα,
Ὃς ἰσχὺν τοῦ θανάτου τοῦ σώματος ἀποβάλλει,
Ἀλλ' ὡς ἔχοντα τὸ σῶμα θεοδόξαστον,
Ὑμνῳδίαις οὐρανίαις ὑπαντήσωμεν,
Ἀνακράζοντες, χαίροις σῶμα ἀείζωον.

Ἄνθρωπος ἀγγελάρχης, ἀπεστάλης Σπυρίδων, σπερεῖν σὸν θεοδόχον γῇ σῶμα. καὶ σὺν τῇ ἀκηράτῳ θανῇ, ἀθανατούμενόν σε θεωρῶν Ὅσιε, ἐξίστατο, καὶ ἵστατο πᾶς μέρωψ, ἐκφωνῶν τοιαῦτα.

Χαίροις ἐν ᾧ ἡ φθορὰ ἐτράπη.
Χαίροις ἐξ οὗ ἡ ζωὴ ηὐγάσθη.
Χαίροις ὁ μὴ ἔχων χρωτὸς τὴν ἀλλοίωσιν.
Χαίροις τῶν πνευμάτων ὁ ἔχων ὡμοίωσιν.
Χαίροις κρᾶμα δυσκατάληπτον ἀνθρωπίνοις λογισμοῖς.

ΒΙΒΛΙΟΘΗΚΗ ΓΕΝΝΑΔΕΙΟΣ

www.tezaurliturgic.ro



Χαίροις πνεῦμα δυσαπόβλητον ἐν ἀνθρώπων σεβασμοῖς.
Χαίροις ὅτι τυγχάνεις τῆς Τριάδος οἰκία.
Χαίροις ὅτι ἐδέξω πᾶσαν χάριν ἁγίαν.
Χαίροις φωστὴρ, φωτίζων τὸν Ηλιον.
Χαίροις λαμπτὴρ τῆς κόσμου ἐμφαύσεως.
Χαίροις δι' οὗ εὐλογεῖται ἡ φύσις.
Χαίροις δι' οὗ ἐκλαμπροῦται ἡ πίστις.

Χαίροις σῶμα ἀείζωον.

Βλέπουσα ἡ Κερκύρα, ἑαυτὴν ἐν ὑγείᾳ, φησὶ τῇ φυσικῇ θαρσαλέως. τὸ πανθαύμαστόν μου θεωρῶ, δυσπαράδακτόν σου τοῖς θεσμοῖς πέφυκεν, ἀφθόρου γὰρ χρωτὸς τὴν σύστασιν, οὐ βλέπεις ὧδε;

Αλλος Αγγελος.

www.tezaurliturgic.ro

Γῆν ἐβάδισε θεῖαν, καὶ εἰς πόλον ἀνῆλθε, κατέασεν ἐφ' ἡμᾶς τὸ δὲ σῶμα. ὃ λαμβάνον τιμᾶς, δηλοῖ πῶς ἐστι δειχθῆναι τὸν βροτὸν ἔνθεον, πρὸς ὃν βοῶμεν ἅπαντες, ἐν φόβῳ πλὴν ἐνθέως οὕτως·

Χαίροις Θεοῦ τῶν θαυμάτων σῆμα.
Χαίροις ἐσθλῶν οὐρανίων βῆμα.
Χαίροις ἀναστάσεως ἡμῖν τὸ τεκμήριον.
Χαίροις τῶν θαυμάτων Θεοῦ τὸ μαρτύριον.
Χαίροις σῶμα θεοδόξαστον, δι' οὗ ἀνέβη ἡ χαρά.
Χαίροις τίμημα τῆς χάριτος, δι' οὗ πέπτωκε φθορά.
Χαίροις πνευματοφόρον πολυτίμητον γέρας.



Χαίροις τὸ τῶν θαυμάτων εὐζωόβρυτον τέρας.
Χαίροις καὶ γὰρ σοφίαν ἐλάμπρυνας.
Χαίροις καὶ γὰρ καρδίαν ἐκαίνισας.
Χαίροις ἐν σοὶ, ὁμοῦ ἔχων στοιχεῖα.
Χαίροις δι' οὗ, κατεπώθη μωρία.

Χαίροις σῶμα ἀείζωον.

Δεῦτε ἐν τῇ Κερκύρᾳ, θεοσύλλεκτα στίφη. πρὸς θέασιν σώματος ἀκηράτου. ὃ ἀπέβαλε στόλον ἀγαρηνῶν, καὶ τὴν νῆσον ἔδειξε σωζομένην ἅπασι, καὶ στράτευμα τῆς Θρᾴκης συνετρίψατο, ἐν τῷ κόλπῳ πόντου.

Ἄλλος Ἄγγελος.

www.tezaurliturgic.ro

Ἔθετο ἐν τῷ ὄρει, Μωϋσῆς μέγαν ὄφιν, ἀνέδραμον πρὸς ὃν δεδηγμένοι. ὁ γὰρ ὄφις ὑγείαν διδοὺς, ἀληθῶς ζωόφιν ἐφορῶ χάριτος, Σπυρίδωνα, ᾧ ᾄσμασι νῦν ᾄδω, ὡς πρὸς εὐεργέτην.

Χαίροις θηρὸς μετουσίαν φέρων.
Χαίροις πτωχῶν ἀῤῥωστίαν αἴρων.
Χαίροις ὁ θηρὸς μεταλλάξας μισάνθρωπον.
Χαίροις ὁ βροτοῖς ἀναστὰς τὸ φιλάνθρωπον.
Χαίροις νόσημα λεπρόσαρκον, βασιλέως ἐκβαλών.
Χαίροις ἔρισμα πανθαύμαστον, τῶν θαυμάτων τῶν πολλῶν.
Χαίροις ὁ εὐτελείας τὴν ἰσχὺν ἀναδείξας.
Χαίροις ὁ τῆς Τριάδος τὸ τρισσὸν προκηρύξας.
Χαίροις σοφῶν συγχέων τὸ σύστημα.
Χαίροις μωρᾶς σοφίας τὸ σύγχυσμα.



Χαίροις ἡμῶν πρὸς Θεοῦ μεσιτεία.
Χαίροις τῆς γῆς ἡ ἡμῶν εὐτυχεία.

Χαίροις σῶμα ἀείζωον.

Ζήσας ἐν τῇ πενίᾳ, καὶ τοῦ πένητος θέλων, τὴν πενίαν ταχέως διῶξαι. ὅθεν ὄφιν εἰς χρυσοῦν ἀγαγὼν, καὶ τροφό πτωχος ἀναδειχθεὶς ἅγιε. λαβὼν δέ σου τὸ δώρημα, εὐχάριστος ὁ πένης, ἔφη.

Ἄλλος Ἄγγελος.

Ηκουσταί μοι Σπυρίδων, δίκην οἴκου Τριάδος, τιμᾶσθαι παρὰ πᾶσιν ἀνθρώποις. καταλύσας μὲν παρ' ἐκείνῳ, Πατὴρ, ὁ Λόγος, καὶ Πνεῦμα Αγιον, αὐτὸς Θεὸν κηρύξας σαρκωθέντα, δι' ἡμῶν βοώντων.

Χαίροις Θεοῦ ἁγνοτάτου θύτης.
Χαίροις Χριστοῦ τῶν ῥημάτων μύστης.
Χαίροις ὡς τὰ ῥεῖθρα ποταμοῦ ἀνεχέτισας.
Χαίροις ὡς τὰ κλεῖθρα τῆς ἀβύσσου ἐνίκησας.
Χαίροις ὅτι κατεπάτησας τῶν ὀφέων κεφαλήν.
Χαίροις ὅτι κατεδίωξας τῶν εἰδώλων τὴν ἀχλύν.
Χαίροις τῶν Κερκυραίων πολυδόξαστον σῶμα.
Χαίροις τὸ τῶν Κυπραίων ἁγιώτατον θρέμμα.
Χαίροις λαμπρὸν τῆς φύσεως βλάστημα.
Χαίροις σφοδρὸν ἐγέρσεως γνώρισμα.
Χαίροις δι' οὗ κατεπώθη κακία.
Χαίροις δι' οὗ πέπτωκεν αἱρεσία.

Χαίροις σῶμα ἀείζωον.

Θαυματέμφορα μέγαν, θεωρήσαντες πάντες, συνόδῳ οἱ φιλόσοφοι θάμβει. τῇ χειρὶ γὰρ ἐνσφίγξας πηλὸν, δι' αὐτοῦ ἐδήλοις τὸ Τρισσὸν ἅπασι. καὶ λήψαντες τὸν ἄληπτον, ἐδόξασαν αὐτὸν βοῶντες.

Αλλος Αγγελος.

Ιδωμεν τῶν θαυμάτων, ποταμόν σε Σπυρίδων, τὸν ῥέοντα ὑμῖν ἀεὶ ταῦτα. ὅθεν ἔστη πάλαι ποταμὸς, ὅτε σὴν ἀπείληφεν αὐδήν. ἔδραμε τὸ θαῦμα πανταχόσε, τοῦ δοξάσαι τὸν θαυματουργοῦντα.

www.tezaurliturgic.ro



Χαίροις ὁ κόσμου ἐάσας δόξαν.
Χαίροις μισθὸν οὐρανοῦ ὁ λήψας.
Χαίροις ὃς ἀπάτην ἐν θαύματι ἔσβεσας.
Χαίροις ὃς Τριάδι πιστεύειν ἐφώτισας.
Χαίροις πρόβατον φιλάνθρωπον τῆς ἀγέλης τοῦ Θεοῦ.
Χαίροις ὅτι τὸ φιλεύσπλαγχνον σὺ κινεῖς τοῦ ποιητοῦ.
Χαίροις ὁ τῶν πενήτων ζωοτρόφε Σπυρίδων.
Χαίροις ὀρφανοφύλαξ, καὶ οἰκία παροίκων.
Χαίροις Μωσῆ, ὃς δύναμιν εἴληφας.
Χαίροις σοφῶν, μωρίαν ὃς ἤμβλυνας
Χαίροις ὃς γῆν, ὁμοιοῖς παραδείσῳ.
Χαίροις ἐχθροὺς, κατεῶν ἐν ἀβύσῳ.

Χαίροις σῶμα ἀείζωον.

Καταπέτασμα τρίτον, κέκτηται ὁ ναός σου, κιβωτόν σου τὴν λάρνακα φέρον. καὶ λυχνίαν νέμεισε φωτὸς, μάννα δέ σου τὸ σῶμα ἡμῖν νέμεται, πλαξὶ δὲ σῆς καρδίας καθορῶμεν, γεγραμμένον οὕτως.

Αλλος Αγγελος.

Λύεις φύσεως ὅρους, τῇ νεκρᾷ φωνὴν στέλλων ἀπέδωκας δὲ πνεῦμα τῷ βρέφει. καὶ γὰρ εἴληφε τέκνον ἐκ σοῦ, μήτηρ θεωροῦσά σου ἰσχὺν ἔφριξε. θανοῦσα δὲ ἀνέστη, αὐτίκα πρὸς σὲ ἐκβοῶσα.

Χαίροις ἀνάῤῥυσις τῶν νοσούντων,
Χαίροις ἀνάβλεψις μὴ ὁρώντων.
Χαίροις ὃς ἐφάνης τῆς πλάνης κατάπτωσις.

www.tezaurliturgic.ro



Χαίροις τῶν πνευμάτων δικαία ἀνόρθωσις.
Χαίροις θάνατον μιμούμενος, καὶ αὐτὸν ἐκ θανατῶν.
Χαίροις πνεῦμα χαριτόβρυτον τοῖς ἀνθρώποις βοηθόν.
Χαίροις ἄσειστε κίων ὁ κρατῶν τοὺς ἐν πίστει.
Χαίροις φῶς τὸ σκοτίζον αἱρεσίαν κακίστην.
Χαίροις Μωσῆ θαυμάτων διάδοχε.
Χαίροις ζωῆς τῆς θείας εὐπάροχε.
Χαίροις ὁ σχὼν τοῦ Θεοῦ μεγαλεῖον.
Χαίροις ὁ δοὺς πᾶσι πνεῦμα τὸ θεῖον.

Χαίροις σῶμα ἀείζωον.

Μέτοχος εἶ Ἀγγέλων, ἐν τῇ γῇ ὦ Σπυρίδων, μετέστης ἐκ τῆς γῆς εἰς τὰ ἄνω. ἐπεδόθης εἰς χεῖρας Θεοῦ, ἀλλ᾽ ἐγνώσθης ὄντως, καὶ βροτὸς τέλειος, διόπερ ἐξεπλάγησαν οἱ Ἄγγελοι βοῶντες, οὕτως.

Ἄλλος Ἄγγελος.

Νέον τῶν ἱερέων, θίασον καθορᾶσθαι, καλεῖ πρὸς ἑαυτὸν ὁ Σπυρίδων. ἐξ Ἀγγέλων λειτουργεῖσθαι βροτὸν, λειτουργοῦντα Τριάδι ἄρτῳ ἐν βήματι, τόδε γὰρ θαῦμα βλέψαντες οἱ Ἄγγελοι, αὐτὸν ἀνύμνουν.

Χαίροις τὸ ᾆσμα τὸ τῶν Ἀγγέλων.
Χαίροις τὸ ψάλμα τῶν Ἀρχαγγέλων.
Χαίροις ὅτι λάμψεως πάντας ἐπλούτισας.
Χαίροις ὁ θανέμπνους, ὃς πλείστους ἐζώωσας.

www.tezaurliturgic.ro



Χαίροις σκεῦος τὸ τῆς χάριτος, ἐν ᾧ ἵσταται σωτήρ.
Χαίροις κρᾶμα τὸ ἀκήρατον, καὶ τῶν ὀρφανῶν πατήρ.
Χαίροις ὁ κλεπτοφόροις βοηθῶν σε κλοπεύειν.
Χαίροις ὁ ἀσπλαγχνοῦντας ὁδηγῶν εὐσπλαγχνίᾳ.
Χαίροις βροτὸς τοῦ χόρτου ἐντρύφημα.
Χαίροις θνητῶν ἁγίων ὑπόδειγμα.
Χαίροις στοργὴ τῶν βροτῶν μικροκόσμων.
Χαίροις πηγὴ πᾶσι χάριν κινοῦσα.

Χαίροις σῶμα ἀείζωον.

Ξύλου γνώσεως πάλαι, ἐφαψάμενος τότε, Αδὰμ ὄντος ἐν τῷ παραδείσῳ. ἀλλ' ἐκείνῳ μὴ συμφωνήσας βροτὸς, τῇ βουλῇ ἐφάνη ὑψηλὸς Αγγελος, τὴν θέωσιν ἑλκύσας ταπεινώσει, καὶ βουλῇ τοῦ κτίστου.

Αλλος Αγγελος.

www.tezaurliturgic.ro

Ὅλον ἦν ἐν τῷ βίῳ, καὶ θανάτου μετέχει, τὰ νῦν τὸ σὸν ἀκήρατον σῶμα. προμετάπτωσις γὰρ μυστικὴ, οὐ κατάβρωσις δὲ βροτικὴ γέγονε, καὶ γόνος ἐκ τῶν ἄνω ἀνεκλήθης, πρὸς βοώντων ταῦτα.

Χαίροις βρωτῶν, ἀθανάτων σῆμα.
Χαίροις ζωῆς, καὶ θανάτου μίγμα.
Χαίροις Ιουδαίων ἀμφίβολον ὅραμα.
Χαίροις Ιερέων ἀγλαώτατον δώρημα.
Χαίροις γέννημα πανθαύμαστον τὸ ἐπὶ τῆς Τριμυθοῦν.
Χαίροις πότισμα πανήδυστον τὸ νοσοῦσι βοηθοῦν.
Χαίροις ὁ ἐναντίοις νῦν ἡμᾶς κατευφραίνων.



Χαίροις ὁ εὐποτμίαν, καὶ ζωὴν συζευγνύων.
Χαίροις ὁλκὴ χειμάρους κρατήσασα.
Χαίροις πηγὴ χαρίτων πλουτήσασα.
Χαίροις λουτρὸν τοῦ ποτὲ Κωνσταντίνου.
Χαίροις ποινὴ πορνικοῦ μὲν γυναίου.

Χαίροις σῶμα ἀείζωον.

Πόλει τῶν Κερκυραίων, καταπλήττεται ἔθνη, ὁρῶντα τὰ βλαστήματα ἄγαρ, ἐδιώχθησαν μὲν ὑπὸ σοῦ, καθεώρουν γὰρ ὑλικὸν Αγγελον, φορῶν εἰς χεῖρας φάσγανον, διώκων τοὺς κατὰ γῆς, καὶ πόντου.

Αλλος Αγγελος.

Ρήτορες καθορῶσι, φωλητῆρος Κερκύρας, ἐν πτύῳ τυπωθεῖσαν εἰκόνα. ἐκ φαρμάκων γὰρ σχῆμα λαβὼν, τὴν σὴν ὄψιν ἔθου, καὶ τυφλὸν ὠμμάτωσας, ἡμεῖς δὲ σὺν μητρὶ τοῦτο θαυμάζοντες, σαφῶς βοῶμεν.

Χαίροις χρυσίον πτωχῆς ἐτάζων.
Χαίροις ἀνάκτων, πιστῶν ὁ φύλαξ.
Χαίροις ὅτι δούλου τὴν χεῖρα ἐξήρανας.
Χαίροις ὅτι κάλλος ᾀδόντων ἐμώρανας.
Χαίροις ὅτι κατεσύγχυσας τοὺς σοφοὺς συζητητάς.
Χαίροις ὅτι ἀπημαύρωσας τοὺς κακίας ποιητάς.
Χαίροις τῶν ἐπιγείων τοὺς θεσμοὺς ὁ συγχύσας.
Χαίροις τῶν οὐρανίων τὰς εὐθύνας κοσμήσας.
Χαίροις φυτὸν ἐπισκέπτον Κερκύραν.
Χαίροις καρπὸς καταφραίνων καρδίαν.

www.tezaurliturgic.ro



Χαίροις τρυφὴ τῆς Κερκύρας ὑπάρχων.
Χαίροις, ὁ ὑγροψυχροθερμοξηράρχων.

Χαίροις σῶμα ἀείζωον.

Σῶμά σου μὲν τὸ θεῖον, ἵσταται παῤῥησίᾳ, ἐμφέρων θησαυροὺς τῶν θαυμάτων. καὶ ἐκ γῆς ὑπάρχων ὡς βροτὸς, τὴν δὲ γῆν ἐάσας Οὐρανῷ ᾤκησας, γηείνοις τὰ οὐράνια ἑνώσας, ἐξ ἡμῶν ἀκούεις.

Αλλος Αγγελος.

www.tezaurliturgic.ro

Τόκος εἶ τῆς Τριάδος, ὁ ἐνδείξας Τριάδα, Ἀγγέλοις, καὶ κακίας ἀνθρώποις. ὁ γὰρ οὐρανοῦ, καὶ γῆς ἀνεμόρφωσέ σε ποιητὴς ἄφθαρτον, ποιήσας σε ἀκήρατον, δεικνύει σε ζωντανὸν τοῖς πᾶσι.

Χαίροις ὁ στύλος ταπεινοσύνης.
Χαίροις ὁ κόσμος τῆς σωφροσύνης.
Χαίροις ὁ μισῶν θησαυροὺς σητοβρόσεως.
Χαίροις ὁ σωτὴρ λεπρικῆς ἀμαυρώσεως.
Χαίροις θεῖε ὁ τὸν Ελληνα συναρμόσας πιστοῖς.
Χαίροις ὅτι τὰ ἀγάλματα καταῤῥίψας ἐπὶ γῆν.
Χαίροις Θεοῦ κριμάτων, σῆμα πᾶσι δεικνύων.
Χαίροις δρόσος θαυμάτων, σὲ κυκλοῖ οὐρανίων.
Χαίροις ὀχεὺς τῆς μεταμορφώσεως.
Χαίροις λαμπὰς τῆς θείας αὐγάσεως.
Χαίροις αὐγὴ ὀρθοδόξου σοφίας.
Χαίροις ὀσμὴ τῆς ἡμῶν σωτηρίας.

Χαίροις σῶμα ἀείζωον.



Ὑπὸ σκέπην σου Πάτερ, ἀνατρέχομεν πάντες, ὡς Νῶε κιβωτὸν εἰς τὴν θείαν. εἰς ἀνάγκας λιμούς, σεισμοὺς ἔχομέν σε βοηθὸν ἅπαντες, ἀνθ᾽ ὧν τελοῦμεν ἄξιον, τὸ δώρημα, νυνί, πρὸς σὲ βοῶντες.

Αλλος Αγγελος.

www.tezaurliturgic.ro

Φωτοβόλον, λυχνίαν, ἐν τῷ βίῳ φανεῖσαν, ἐτέθης εἰς χαρὰν τοῖς ἀνθρώποις. ζωῆς ἄφθαρτον ἧναψας φῶς, ὁδηγεῖς πρὸς γνῶσιν μακαριότητος, ἡμᾶς τοὺς νῷ μὴ ἔχοντας, χαρὰν τὴν οὐρανίαν ὧδε.

Χαίροις στροφὴ, ἀρᾶς τῶν γενάρχων.
Χαίροις φυγὰς ἀφῆς παραβάτων.
Χαίροις ὃς Αδὰμ, υἱὸν Αβελ ἐσήμανας.
Χαίροις ὃς τοῦ Χὰμ ἁμαρτίας ὠνείδισας.
Χαίροις Κάϊν τὸ ζηλόφθονον ἀποβάλλων ἀφ' ἡμῶν.
Χαίροις Αβραμ τὸ φιλάνθρωπον, ὁ δεικνύων μιμητόν.
Χαίροις Αρχιερέων ζωγραφήσας τὸν βίον.
Χαίροις Ιωνᾶ πάλιν, ἑρμηνεύσας τὸν τύπον.
Χαίροις ἀστὴρ μηνύων θεότητα.
Χαίροις ποιμὴν ἐρῶν ἀνθρωπότητα.
Χαίροις δορκὰς τοῦ Θεοῦ μυστηρίων.
Χαίροις ὀχὴ ἀγαθῶν αἰωνίων.

Χαίροις σῶμα ἀείζωον.

Χάριν πλείστων θαυμάτων, εἰληφὼς ὦ Σπυρίδων, ἐδόθης εὐεργέτης Κερκύρας. καὶ προσώρμησας κατ' ἐχθρῶν,

6

www.tezaurliturgic.ro



προσεληλυθότων εἰς αὐτῆς σύνορα, διώξας τὰ στρατεύματα, ἀκούεις παρὰ πάντων οὕτως.

Αλλος Αγγελος.

Ψαύοντα σώματός σου, τὰ ἀλλόφυλα ἔθνη, ἀρτίμορος δοκεῖς αὐτοῖς ὄντως. ἐν τῇ σῇ γὰρ ὁρῶσιν ὀχῇ, τὰ βιούντων πάντων ἀβλαβῆ Οσιε, κραυγάζουσι, δοξάζουσι, διδάσκουσι, βοᾶν σοι πάντας.

Χαίροις ὀστῶν φυλακὴ ἁγία.
Χαίροις ὁσίων τῶν ζώντων μείζων.
Χαίροις ὁ φορῶν ὑγιὲς περικράνιον.
Χαίροις ὁ τηρῶν ζῶν ἀεὶ τὸ ἐγκέφαλον.
Χαίροις ὄμματ' ἔχων βλέποντα, τοῦ Θεοῦ θεωρίαν.
Χαίροις στόμα ὁ ἀνοίγων, εἰς πιστῶν νουθεσίαν.
Χαίροις ἀθανασίας ὁ ἀκήρατος οἶκος.
Χαίροις τῆς ἀφθαρσίας ὁ αἰώνιος τύπος.
Χαίροις δι' οὗ ἐξέστησαν ἄγγελοι.
Χαίροις δι' οὗ ἐσώθησαν ἄνθρωποι.
Χαίροις χρωτὸς σταθερὰ κουστωδία.
Χαίροις εἰκὼν τοῦ Θεοῦ ἡ ἁγία.

Χαίροις σῶμα ἀείζωον.

Ω Εχέμβιον σῶμα, τοῦ θανάτου μὴ ἔχων, τὴν πεῖραν ἁγιώτατον πάντη. δεξαμένης τῆς νῦν παροχῆς, δός μοι Θεῖε τῶν κακῶν τὴν ἄφεσιν, καὶ διὰ σοῦ ῥυσθείησαν κακώσεως, οἱ σοὶ βοῶντες.

Αλλος Αγγελος.